Σχόλια. Οὐ χολή.] ἐν ἐκθέσει μονόμετρον ἰαμβικὸν μεθ᾽ ὃ ἐκθέσεις εἰς στίχους ἰαμβικοὺς ἀκαταλήκτους τετραμέτρους. Αλλ᾽ ἐκκυκλήθητι.] εἰ μὴ σχολὴν ἔχεις κατελθεῖν, ἀλλ᾽ ἐκκυκλήθητι. τουτέστι συστράφητι. ἐκκύκλημα δὲ λέγεται μηχάνημα ξύλινον τροχοὺς ἔχον. ὅπερ περιστρεφόμενον, τὰ δοκοῦντα ἔνδον, ὡς ἐν οἰκίᾳ διαπράττεσθαι, καὶ τοῖς ἔξω ἐδείκνυε. λέγω δὴ τοῖς θεαταῖς. βούλεται δὲ εἰπεῖν, ὅτι κἂν φανερὸς γενοῦ. διὸ ἐπήνεγκεν. ἀλλ᾽ ἐκ- A κυκλήσομαι. καταβαίνειν δ᾽ οὐ σχολή. Τί λέλακας.] ἀντὶ τοῦ κέκραγας. λακεῖν γάρ ἐστι τὸ φωνεῖν. καὶ ὁ ποιητὴς λάκε δ᾽ ἀσπὶς ὑπ᾽ αὐτῆς. λάκε δ᾽ ὀστέα. καὶ δεινὸν λελακυῖα. τραγικὴ δ᾽ ἡ λέξις. Αναβάδην ποιεῖς.] φαίνεται γὰρ ἐπὶ τῆς σκηνῆς μετέωρος. τὸ δὲ ἀναβάδην ἀντὶ τοῦ ἄνω τοὺς πόδας ἔχων. Τὰ ῥάκια.] οὕτως αὐτὸν ἐσκευοποίησεν ἐν ῥακίοις καθεζόμενον καὶ ποιοῦντα τὰς τραγῳδίας. κωμῳδεῖ οὖν αὐτὸν ὡς πτωχοὺς καὶ ταπεινοὺς εἰσάγοντα τοὺς ἥρωας.

Δός μοι ῥάκιόν τι τοῦ παλαιοῦ δράματος, B
Δεῖ γάρ με λέξαι τῷ χορῷ ῥῆσιν μακράν,
Αὕτη δὲ θάνατον ἢν κακῶς λέξω φέρει.
Εὐριπ. Τὰ ποῖα τρύχη, μῶν ἐν οἷς Οἰνεὺς ὁδὶ,
Ο δύσποτμος γεραιὸς ἠγωνίζετο;
Δι. Οὐκ Οἰνέως ἦν, ἀλλ᾽ ἔτ᾽ ἀθλιωτέρου.
Εὐριπ. Τὰ τοῦ τυφλοῦ Φοίνικος; Δι. οὐ Φοίνικος οὔ. C
Αλλ᾽ ἕτερος ἦν Φοίνικος ἀθλιώτερος.
Εὐριπ. Ποίας ποτ᾽ ἁνὴρ λακίδας αἰτεῖται πέπλων.
Αλλ᾽ ἢ Φιλοκτήτου τὰ τοῦ πτωχοῦ λέγεις;
Δικαιοπ. Οὔκ. ἀλλὰ τούτου πολὺ πολὺ πτωχιστέρου.
Εὐριπ. Αλλ᾽ ἢ τὰ δυσπινῆ θέλεις πεπλώματα, D
Α Βελλεροφόντης εἶχ᾽ ὁ χωλὸς οὑτοσί;
Δικαιοπ. Οὐ Βελλεροφόντης, ἀλλὰ κἀκεῖνος μὲν ἦν
Χωλὸς, προσαιτῶν, στωμύλος, δεινὸς λέγειν.
Εὐριπ. Οἶδ᾽ ἄνδρα Μυσὸν Τήλεφον. Δικαι. ναὶ Τήλεφον.
Τούτου δὸς ἀντιβολῶ σέ μοι τὰ σπάργανα. E
Εὐριπ. Ω παῖ, δὸς αὐτῷ Τηλέφου ῥακώματα.
Κεῖται δ᾽ ἄνωθεν τῶν Θυεστείων ῥακῶν,
Μεταξὺ τῶν Ινοῦς. Κη. ἰδοὺ ταυτὶ λαβέ.
Δικαιο. Ω Ζεῦ διόπτα καὶ κατόπτα πανταχῇ.
Ενσκευάσασθαί μ᾽ οἷον ἀθλιώτατον.
Εὐριπίδη. ἐπειδήπερ ἐχαρίσω μοι ταδὶ,
Κἀκεῖνά μοι δὸς τὰ ᾽κόλουθα τῶν ῥακῶν. F

B *Da mihi pannosam vestem ex veteri fabula.*
*Nam longam orationem recitare huic gregi*
*Me oportet: quam si malè dixero, mortem afferet.*
*Ev. Quales vestes pannosas? vtrum has, in quibus*
*Senex ærumnosus certauit Oeneus?*
*DI. Non Oenei erant: sed miserioris cuiuspiam.*
C *Ev. Cæciné Phœnicis? DI. Phœnicis non erant.*
*Sed alius erat Phœnice illo ærumnosior.*
*Ev. Quæ tandem hic expetit fragmenta vestium?*
*Vtrum Philoctetæ mendici intelligis?*
*DI. Non, sed longè mendicioris hominis.*
*Ev. Fortasse sordida vis velamina,*
D *Quæ claudus hic Bellerophontes gestauerat?*
*DI. Non Bellerophontis: sed & hic, cuius fragmina*
*Peto, claudus erat mendicus, garrulus, dicax.*
*Ev. Noui hominem, Mysum Telephum. DI. sic Telephum.*
*Huius da, quæso mihi pannosa lintea.*
E *Ev. Puer cedò huic laceratas vestes Telephi:*
*Iacent hæ supra Thyestæ pannos reiiculos,*
*Mediæ inter Inûs fragmenta. CE. Eccas has tibi.*
*DI. O Iuppiter, qui peruides & despicis omnia:*
*Sine me amiciri in modum hominis egētissimi.*
*Euripides, quia tu mihi gratificatus es*
*In hac re, etiam illa des, quæ hunc comitantur*
F *habitum,*

Σχόλια. Παλαιοῦ δράματος.] Τηλέφου. ἀμφίβολον δὲ, τὸ παλαιὸν πῶς ἔφη. δηλοῖ γὰρ καὶ τὸ πρὸ πολλοῦ χρόνου, παρ᾽ Ομήρῳ. ἦ ῥα νύ μοι ξεῖνος πατρώιος ἐσσί. παλαιὸν δὲ καὶ τὸ διερρυηκὸς ὡς τὸ πολλαὶ ἐν ἀμφιάλῳ Ιθάκῃ ἡμὲν νέαι ἠδὲ παλαιοί. Ρῆσιν μακράν.] τὸ μακρὸν οὐκ ἀργῶς αὐτῷ λέλεκται. ἀλλ᾽ ἐπειδὴ καὶ τοὺς ἀγγέλους καὶ τοὺς προλόγους μακρολογοῦντας εἰσάγει Εὐριπίδης, πρὸς αὐτὸν ὁ λόγος ἀποτείνεται. Τὰ ποῖα τρύχη.] γέγραπται τῷ Εὐριπίδῃ δρᾶμα Οἰνεύς. μετὰ δὲ τὸν θάνατον Τυδέως, καὶ ἐπὶ στράτευσιν Διομήδους κατὰ Θηβαίων, ἀφῃρέθη τὴν βασιλείαν Οἰνεὺς ὑπὸ τῶν Αγρίου παίδων. καὶ περιῄει ταπεινὸς, ἄχρις οὗ ἐπανελθὼν Διομήδης, Αγριον μὲν ἀνεῖλε, τὴν βασιλείαν δὲ G Οἰνεῖ παρέδωκε. τρύχη δὲ, τὰ ῥάκη τραγικῶς. Τὰ τοῦ τυφλοῦ Φοίνικος.] Φοίνικα λέγει τὸν Αμύντορος. λακίδας δὲ, τὰ διερρωγότα ἱμάτια. Φιλοκτήτου.] εἰσήγαγε γὰρ τὸν Φιλοκτήτην ἐν τῇ Λήμνῳ πενόμενον. Πτωχιστέρου] συνήθως αὐτὸ παρεσχημάτισεν. ὡς γὰρ λαλίστερον, καὶ ψευδέστερον οὕτω καὶ πτωχίστερον. Τὰ δυσπινῆ.] τὰ ἐρρυπωμένα. τὰ ῥυπαρά. πῖνος γὰρ ὁ ῥύπος. εἰσήγαγε γὰρ καὶ τοῦτον καταβληθέντα ἐκ Πηγάσου, καὶ ἐρρυπωμένα ἱμάτια ἔχοντα. οὑτοσὶ δ᾽ εἶπεν, ἔκειτο γὰρ πλησίον καὶ τοῦ Βελλεροφόντου. ἐπίτηδες δὲ ταῦτα ἐποίησεν ἵνα διέλθῃ πάντας ὅσους ἐποίησε πτωχοὺς ῥάκια ἐνδεδυμένους. Προσαιτῶν.] οὐκ εἶπεν αἰτῶν. ἀλλὰ προσαιτῶν. οὕτω γὰρ λέγεται. Τῶν Θυεστείων ῥακῶν.] ἤτοι τὰ τῶν Κρησσῶν. ἢ αὐτοῦ τοῦ Θυέστου. Ω Ζεῦ διόπτα.] ταῦτά φησιν ἐπεὶ πολύτρητα ἦν τὰ ῥάκια δι᾽ ὧν ἦν πάντα ἐπισκοπῆσαι. Ενσκευάσασθαί με.] λείπει τὸ ποίησον. διασύρεται δὲ ὅτι οὐκ ἔχρην ταῦτα ἐπὶ σκηνὴν λέγειν.

Τὸ πιλί-